ἑταιρειάρχου κῦρ Νικολάου τοῦ Σιγηροῦ, δοθησόμενα τὸ μὲν ἐν τῇ βασιλείᾳ ἡμῶν, τὸ δὲ ἕτερον τῷ τοιούτῳ κῦρ ἀποκρισιαρίῳ, ἅπερ ἡ βασιλεία ἡμῶν τῇ ἰδίᾳ χειρὶ γράμμασι βασιλικοῖς ἐρυθροῖς ὑπέγραφε καὶ χρυσῆς βασιλικῆς βούλλης ἀπηωρημένης ἀσφαλείᾳ προσεπεκύρωσε. γέγονεν ἐν τῇ μεγάλει πόλει Κωνσταντινουπόλεως, ἐν τῷ ἱερῷ τῶν Βλαχερνῶν παλατίῳ, ἔτει ἀπὸ τῆς τοῦ κόσμου συστάσεως ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ ἕκτῳ, ἡμέρᾳ ὀγδόῃ τοῦ ὀκτωβρίου τῆς ἑνδεκάτης ἰνδικτιῶνος, ἀπὸ δὲ τῆς γεννήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτει χιλιοστῷ τριακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ, παρόντων μαρτύρων ἐκ μὲν τῶν ἀρχόντων Ῥωμαίων τοῦ τε περιποθήτου ἐξαδέλφου τῆς βασιλείας ἡμῶν μεγάλου δομεστίκου κῦρ Δημητρίου τοῦ Παλαιολόγου, τῶν περιποθήτων θείων τῆς βασιλείας ἡμῶν τοῦ τε μεγάλου δομεστίκου κῦρ Ἀλεξίου τοῦ Ἀτουέμη καὶ τοῦ μεγάλου λογοθέτου κῦρ Νικηφόρου Λάσκαρι τοῦ Μετοχίτου, τοῦ περιποθήτου συμπενθέρου τῆς βασιλείας ἡμῶν μεγάλου στρατοπεδάρχου κῦρ Γεωργίου τοῦ Ἀστρᾶ καὶ ἄλλων παρατυχόντων ἐκεῖσε, ἐκ δὲ τῶν Βενετίκων τῶν εὐγενῶν ἀνδρῶν τοῦ τε σὺρ Ἀνδρέου Βενὲρ, τοῦ σὺρ Μαρὶν Ἰουστινιὰν, τοῦ Νικολάου Πιτζαμάνου, τοῦ Ἀνδρέου ντὲ Μπερνάρδω καὶ τοῦ Λεονάρδου Φαλὲρ, πολιτῶν τῆς Βενετίας, ἔτι δὲ καὶ τοῦ Πέτρου Κορνὰρ δραγουμάνου τῶν Βενετίκων ἐν τῇ Κωνσταντινουπόλει †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος.

***Orig. membr. tabullarii Veneti. Aurea bulla avulsa. Versio latina ad dextram.***

## XXX. 6869 (1361) mense ianuario ind. XIV.

***Simeon Palaeologus, imperator Romanorum et Serborum, Ioanni Zaffae Ursino Ducae privilegium impertit.***

† Ἐπειδὴ ψήφῳ θεοῦ ἐπέστη ἐμπρησμὸς τῇ θεοσώστῳ πόλει Ἄρτης καὶ τὰ ὡραῖα αὐτῆς, φεῦ κατέφαγε καὶ κατέφλεξε καὶ κατέφθειρεν αὐτῶν πάντα, ὅσα κατεῖχεν ἀνέκαθεν χαρτία καὶ δικαιώματα, διὰ τοῦτο ἀνέφερεν ὁ περιπόθητος καὶ γλυκύτατος πατὴρ καὶ σύντεκνος τῆς βασιλείας μου, μέγας κοντόσταυλος κύριος Ἰωάννης

Τσάφας [1]) Οὐρσῖνος Δούκας, ὡς ἵνα πορίσηται καὶ ἀνακτηθῇ διὰ χρυσοβούλλου αὐτῆς προστάγματος εἰς ἐπανάκλησιν τῶν φθαρέντων αὐτοῦ χρυσοβούλλων καὶ δικαιωμάτων, ἅτινα εἶχεν ἀνέκαθεν καὶ ἐξ αὐτῶν τῶν ἁγίων βασιλέων καὶ δεσποτῶν ἐκείνων, αὐθεντῶν καὶ προγόνων τῆς βασιλείας μου, ἤγουν τὸ κάστρον τοὺς Ῥωγοὺς [2]) μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ, ἤτοι ἀπὸ τὴν ἄκραν τοῦ Μαυροβουνίου καὶ τὸ Μαυροβούνιον [3]), ἀπέσω ἐρχόμενον εἰς τὴν Ἄμπραν [4]) καὶ εἰς τὸ Καρυδάκι [5]) καὶ εἰς τὸ Ἑζόμενον [6]) καὶ εἰς τὸν Φανοῦτον, ἀποκουμβίζονται εἰς τὴν Ἐμπερινὴν [7]) καὶ εἰς τῆς Εἰρήνης τὸ ξενοδοχεῖον καὶ εἰς τὰ Τρινόβιανα [8]) καὶ τὴν Ζώρισιαν καὶ εἰς τὸ Σειστροῦνι [9]) καὶ εἰς τὸν κακὸν Τάφον [10]) καὶ εἰς τὸ Γλυκὺ καὶ τὸν ποταμὸν [11]) καὶ εἰς [12]) τὸ Μαρμάρι καὶ εἰς τὴν θάλασσαν ἀπέσω μετὰ τῶν κτημάτων πάντων καὶ δικαίων καὶ προνομίων τῆς αὐτῆς περιοχῆς, ἐπικρατήσεως καὶ χώρας καὶ συνόρων τοῦ αὐτοῦ τόπου, καθὼς ἐδόθη τοῦτο συνωρολογημένων [13]) πρὸς αὐτὸν διὰ χρυσοβούλλου παρὰ τοῦ ἀοιδίμου καὶ μακαρίτου αὐθέντου καὶ ἀδελφοῦ μου, τοῦ βασιλέως ἐκείνου κυρίου [14]) Στεφάνου, ἀλλὰ δὴ καὶ τὸ ὅσον κατέχει ἐντὸς καὶ ἐκτὸς τῆς Ἄρτης μέχρι τοῦ νῦν, ὡσαύτως καὶ [15]) τὴν Ἁγίαν Μαύραν μετὰ τῆς Λευκάδος, τὴν Περατίαν ἐν τῷ θέματι Ξηρομέρου [16]) μετὰ τοῦ Παραδείσου καὶ τῶν Ζαβερδῶν [17]). ὡσαύτως ἐν τῷ θέματι τῶν Ἰωαννίνων χωρία τὰ Σουδενὰ [18]) τὰ ἄνω καὶ τὰ κάτω σὺν τῷ Τσερβάριν [19]) καὶ τῶν Νεγκαράδων καὶ τὸν Μανιάκην, τὸν Ῥιζὸν, τὴν Γλίναν σὺν τῇ τῆς Βελίτζιος, σὺν τῇ τῶν Τσονοβαλσενάδων [20]). ἔτι καὶ ἐν τῷ θέματι τῆς Βαγενετίας χωρίον τὴν Σελιανὴν, τοὺς Κουρτοὺς, τὸ Δοχώριον, τοὺς Βαριάδας σὺν τῇ τοῦ Βουδέσι, τὸ Στύλον τοῦ Ἐρημίτου μετὰ τοῦ Μαυροποταμοῦ, τὸν Πρινέα σὺν τῇ τοῦ Κακοῦ Πηλοῦ [21]) καὶ τῆς Ἡγουμενίτζας, τοὺς Δολιανοὺς,

---

[1]) Τζάφας [2]) Ῥογούς [3]) Μαυροβοῦνιν [4]) Ἄσπραν [5]) Καριδάκι [6]) Ἐζώμενον [7]) ἀποκουμπίζοντας εἰς τὴν Ἐμπερινά [8]) Τρινοβίανα [9]) Σεστροῦνι [10]) Τράφον [11]) εἰς τὸν ποταμὸν Ποταμόν [12]) ἕως [13]) συνυρολογουμένον [14]) κυροῦ [15]) καὶ deest apud Arav. [16]) Ξηρομέρων [17]) Ζαβέρδων [18]) Πεδανάτα, quod legitur in originali, emendavit Arav. 313. [19]) Τζερβάρην [20]) τὸν Ῥιζὸν σὺν τῇ τῆς Βερήτζης, τὴν Γλίναν σὺν τῇ τῶν Τζονοβουλσενάδων [21]) Βαγενετείας χωρίον τὴν Σεληνιανὴν, τοὺς Κορτοὺς, τὸ Δοχῶριν, τοὺς Βαριάδας σὺν τῇ τὸ Βοδέση, τὸν Στύλον τοῦ Ἐρεμιτοῦ μετὰ τοῦ Μαυροποταμοῦ σὺν τῇ τὸν Κακὸν Πηλόν.

τοὺς Πε[τζιοὺς] [22]), καθὼς δέδωκεν αὐτοὺς προῖκα [23]) πρὸς τὸν γαμβρὸν αὐτοῦ τὸν πρωτοσπαθάριον καὶ τὸν Σωτῆρα καὶ τὴν Κιστέρχαν [24]) καὶ τὴν Ἀρλίσκαν καὶ τὴν Νιστάν, τὴν Κωσόβαν [25]), τὴν Πετρώδαν, τὴν Σφίναν σὺν τῇ . . . . . . [26]), τοὺς Γιαννιτζοπούλους, τὴν Φιάτζαν, καθὼς δέδωκεν αὐτὴν τῷ ἀνεψιῷ αὐτοῦ, κυρίῳ Ἰωάννῃ τῷ Τσάφᾳ Οὐρσίνῳ διὰ προνοίας, καὶ τὴν Πράσπαν [27]). ἡ βασιλεία μου γοῦν τὴν αἴτησιν αὐτοῦ οὐ παρεῖδεν, ἀλλὰ ἀποδεξαμένη ἀσμένως ταύτην τὸν παρόντα χρυσόβουλλον [λόγον αὐτῆς] ἐπιχορηγεῖ καὶ βραβεύει αὐτῷ, δι' οὗ καὶ ἔχει θέλημα καὶ προστάσσει [28]) καὶ διορίζεται, ἵνα ὁ εἰρημένος περιπόθητος, γλυκύτατος πατὴρ καὶ σύντεκνος τῆς βασιλείας μου, μέγας κοντόσταυλος κύριος Ἰωάννης ὁ Τσάφας Οὐρσῖνος Δούκας κατέχῃ καὶ ἐπικρατῇ καὶ νέμηται καὶ δεσπόζῃ τὰ ἄνωθεν εἰρημένα ἅπαντα, τά τε κάστρα καὶ τόπους καὶ περιοχὰς καὶ κτήματα, ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως, ἀναφαιρέτως καὶ ἀναποσπάστως κατὰ τελείαν αὐτοῦ κληρονομίαν καὶ δεσποτείαν καὶ κυριότητα αὐτός τε καὶ οἱ ἐξ αὐτοῦ τεχθησόμενοι παῖδες καὶ κληρονομοδιάδοχοι, ἔχειν τε ἐπ' ἀδείας ποιεῖν ἐπ' αὐτά, εἴ τι ἄρα καὶ βούλοιντο, ἤγουν πωλεῖν, χαρίζειν, προικίζειν, ἀνταλλάττειν, θείοις ναοῖς ἀφιεροῦν, καὶ πάντα, ὅσα οἱ θεῖοι καὶ ἱεροὶ νόμοι τοῖς ἀληθέσι καὶ εὐσεβέσι δεσπόταις ἐπὶ τοῖς ἑαυτῶν πράττειν διακελεύονται, καὶ ἵνα μὴ εὕρῃ τὸ σύνολόν τινα διενόχλησιν ἢ καταδυναστείαν ἐπὶ τῇ νομῇ καὶ περιοχῇ αὐτῶν, ἀλλὰ διαμένωσιν ἀνενόχλητα πάντῃ [29]) καὶ ἀδιάσειστα παρ' αὐτοῦ, τῇ δυνάμει καὶ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου [λόγου] τῆς βασιλείας μου. διατηρηθήσονται δὲ τὰ ἄνω εἰρημένα ἅπαντα κάστρα καὶ κτήματα [30]) ἀνενόχλητα ἀπὸ πάσης ἐπηρείας καὶ συζητήσεως ἀπό τε ἀγγαρείας [31]), παραγγαρείας, βιολογίας [32]), καπνολογίας, πρεβένδας, ζημίας, φωμοζημίας, βελανιδίου, πρινοκοκκίου [33]) καὶ πάσης ἄλλης τῆς οἱασδήποτε [34]) ἐπηρείας τῆς νῦν ἐνεργουμένης καὶ ἐς ὕστερον ἐπινοηθησομένης, καὶ οὐδεὶς τολμήσει τοῦ ἐμβαλεῖν [35]) ἐπ' αὐτὰ πόδα κακωτικὸν ἢ ἐπιζήμιον, ἀλλὰ πόρρω φεύξονται ἀπ' αὐτῶν ὡς ἀπὸ καμίνου πυρός. καὶ ἵνα μὴ

---

[22]) Supplevit Arav. [23]) προῖκαν [24]) τὸν Σωτῆρα καὶ τὴν Κιστέρνα [25]) Κόσοβαν [26]) Lacunam indicavit Arav. [27]) Βράσπαν [28]) προστάζει Arav. [29]) πάντα Arav. [30]) καὶ τὰ κτήματα [31]) Arav. scribit ἀγιο [32]) βιγλογίας [33]) βελανηδίου, πρινοκοκίου [34]) οἱασδήτινης [35]) τολμῆσαι Arav. ἐμβάλλειν.

ἔχῃ κρίσιν μετά τινος ἐπ' αὐτῶν, κἂν ἔχῃ τις δίκαιον ἐπ' αὐτοῖς, ἀλλ' ἵνα κατέχῃ αὐτὰ χωρὶς κρίσεως καὶ ἀμφιβολίας τῆς οἱασδήτινος. τούτου γὰρ χάριν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος [λόγος] τῆς βασιλείας μου καὶ ἐπεδόθη τῷ προειρημένῳ περιποθήτῳ [38]) καὶ γλυκυτάτῳ πατρὶ καὶ συντέκνῳ αὐτῆς, μεγάλῳ κοντοσταύλῳ κυρίῳ Ἰωάννῃ τῷ Τσάφα Δούκᾳ τῷ Οὐρσίνῳ, καὶ πᾶσι τοῖς παισὶ καὶ κληρονομοδιαδόχοις αὐτοῦ εἰς ἀσφάλειαν καὶ δικαίωσιν τὴν αἰωνίζουσαν, ἀπολυθεὶς κατὰ μῆνα ἰαννουάριον τῆς ἐνισταμένης τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑξηκοστοῦ ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Συμεών, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων καὶ Σέρβων, ὁ Παλαιολόγος †.

*Edidit, ut videtur, ex originali P. Aravantinos in:* Χρονογραφία τῆς Ἠπείρου. Ἐν Ἀθήναις. *1856—57 2, 311. Impressum est ex apographo cuiusdam notarii Petri Agapeti ab Iacobo Grandi in libro: Risposta a una lettera di Alessandro Pini sopra alcune richieste intorno S. Maura e la Prevesa. Venezia. 1686. 124., ubi actum habet subscriptionem:* Ἐγὼ Πέτρος ὁ Ἀγαπητός, βασιλικῇ ἐξουσίᾳ νοτάριος πόλεως καὶ νήσου τῶν Κορυφῶν, ἀντέγραψα τὴν παροῦσαν γραφὴν ἀπὸ ἑτέραν γραφὴν βασιλικὴν ἀπὸ ῥῆμα εἰς ῥῆμα κατὰ τὴν περίληψιν τοῦ πρεβελεγίου χρυσοβούλλου. *Huius editionis lectiones varias in calce notavimus.*

## XXXI. 6871 (1362). mense octobri ind. I.

*Imperator Ioannes Palaeologus Theophylactum Dermocaitam et Constantinum Caballaropulum mittit legatos Venetias ad renovandas pactiones.*

† Ἐπεὶ ἐδέησε γενέσθαι μέσον τῆς βασιλείας ἡμῶν καὶ τοῦ μεγαλοπρεποῦς δουκὸς τῆς Βενετίας καὶ τοῦ κουμουνίου τῆς Βενετίας τρέβαν κατὰ τὸν εἰθισμένον τρόπον, καὶ ἀποστέλλομεν ἤδη ἐπὶ τούτῳ τοὺς οἰκείους τῇ βασιλείᾳ ἡμῶν, τόν τε καθολικὸν κριτὴν τῶν Ῥωμαίων, κῦρ Θεοφύλακτον τὸν Δερμοκαΐτην, καὶ κῦρ Κωνσταντῖνον τὸν Καβαλλαρόπουλον, ἀποιύει ἤδη τὸν παρόντα χρυσόβουλλον ὁρι-

[38]) deest Arav.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σμὸν ἡ βασιλεία ἡμῶν, δι' οὗ καὶ ἀνατίθησι καὶ δίδωσιν αὐτοῖς ὁρισμὸν ἐντελῆ καὶ ἐλευθερίαν καὶ ἄδειαν πεπληρωμένην, ἵνα συνέλθωσι μετ' αὐτοῦ δὴ τοῦ μεγαλοπρεποῦς δουκὸς καὶ τοῦ κουμουνίου τῆς Βενετίας, καὶ συμβιβασθῶσι καὶ συμφωνήσωσι καὶ ἀποκαταστήσωσι νέαν τρέβαν μέσον τῆς βασιλείας ἡμῶν καὶ τοῦ μεγαλοπρεποῦς δουκὸς καὶ τοῦ κουμουνίου κατὰ τὴν συνήθειαν καὶ τὸν τύπον τῶν προτέρων τρεβῶν καὶ κατὰ τὸν ὁρισμὸν καὶ τὴν ἀνάθεσιν, ἣν ἔλαβον εἰς τοῦτο παρὰ τῆς βασιλείας ἡμῶν, καὶ ὅσον ἂν ποιήσωσι καὶ ἀποκαταστήσωσι κατὰ τὴν ἀνάθεσιν τὴν δοθεῖσαν αὐτοῖς, ὀμόσωσι τοῦτο εἰς τὴν ψυχὴν ἡμῶν, καὶ στερχθῇ καὶ βεβαιωθῇ καὶ παρὰ τῆς βασιλείας ἡμῶν. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἐπιτροπικὸν συμβόλαιον τοῖς ἡμετέροις πρέσβεσι, κατοχυρωθὲν βούλλῃ χρυσῇ κάτωθεν ἀπῃωρημένῃ συνήθως καὶ ὑποσημανθὲν οἰκειοχείρως παρὰ τῆς βασιλείας ἡμῶν κατὰ μῆνα ὀκτώβριον τῆς πρώτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑβδομηκοστοῦ πρώτου ἔτους †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

*Origin. membran. tabullarii Veneti. Aurea bulla, olim suspensa serico violaceo, avulsa est.*

## XXXII. 6872 (1364). mense martio ind. II.

*Alexius II. Comnenus, imperator Trapezuntis, confirmat pactionem ab avo suo Alexio I. cum Venetis factam.*

Πᾶσιν οἷς τὸ παρὸν ἡμῶν εὐσεβὲς ἐπιδείκνυται σιγίλλιον. ὁ ἀοίδιμος ἐκεῖνος καὶ ἐν βασιλεῦσιν ὡς ἀληθῶς τρισμακάριος, ὁ πρὸς πατρὸς πάππος τῆς βασιλείας μου κύριος Ἀλέξιος ὁ μέγας Κομνηνὸς καλῶς ποιῶν καὶ βασιλικῶς ὁ παρὰ πολλοὺς ἁπλῶς εἰπεῖν τοὺς βασιλεῖς τῆς γῆς ἀξιομνημόνευτος καὶ τῶν μακρὰν καὶ ἐγγὺς τὴν εὔνοιαν φιλικὴν, εἴγε μᾶλλον αὐτοκρατορικῶς ἐφελκύσαι πραγματευόμενος οὐδὲ τὴν εὐδαίμονα παρέδραμε Βενετίαν, ἀλλ' ἔτι τοῖς ζῶσι συνταττόμενος ὢν καὶ τὰ βασιλικὰ διιθύνων σκῆπτρα χρυσόβουλλον ἐκείνου λόγον τῷ μεγαλεπιφανεστάτῳ δουκὶ Βενετίας κυρῷ Ἰωάννῃ τῷ Σουμπράντῃ ἐκείνῳ ἐξέπεμψεν διὰ τοῦ τηνικαῦτα ἀπεσταλμένου

ἐκ Βενετίας ἀποκρισιαρίου τοῦ εὐγενοῦς κυρίου Μιχαὴλ τοῦ Παντολέοντος ἐπὶ φιλικῇ ἑνώσει καὶ δεξιότητι καὶ συμβιβασμάτων καταστάσει καὶ περιλήψει, καθὰ ἡ χρυσοβουλλικὴ ἐκείνου κεφαλαιωδῶς ἐπεγκελεύετο πρόσταξις, γενομένη ἐν μηνὶ Ἰουλίου ἰνδ. β΄ τοῦ ,ς ω κ ζ΄ ἔτους, ἧς τὸ ἴσον ἐν τοῖς βεστιαρικοῖς καταστίχοις τῆς βασιλείας μου ἐγγέγραπται. ἐπειδὴ γοῦν καὶ ἑλίκων ἀνωμαλίᾳ καὶ τῷ μακρῷ τοῦ καιροῦ τό τε χρυσόβουλλον ἐκεῖνο διέφθαρτο, καὶ ἡ ἐκ Τραπεζοῦντος τῶν Βενετίκων κατέπαυσεν ἔλευσις τρόπον ὃν ἴσασιν οἱ πολλοί, διὰ φροντίδος ὅτι πολλῆς οὖσα ἡ βασιλεία μου, ἀπεδέχετο καὶ αὖθις τούτους κατιδεῖν ἐνταυθοῖ καὶ τῆς ἐκ τούτων ἀπολαμβάνειν εὐνοίας καὶ φιλικῆς ἀγάπης καὶ δεξιώσεως, καὶ δὴ τοιουτοτρόπως ἐχόντων τῶν πραγμάτων κατέλαβε τῶν ὧδε ὁ εὐγενὴς ἄρχων καὶ ἀποκρισιάριος σὺρ Γουλιάρμος Μιχέλης, ἀποσταλεὶς παρὰ τοῦ πανευγενοῦς καὶ μεγαλεπιφανεστάτου δουκὸς Βενετίας κυρίου Λαυρεντίου τοῦ Τζέλση καὶ παρὰ τοῦ εὐγενοῦς μπαΐούλου Κωνσταντινουπόλεως κυρίου Ἀνδρέου Κουρὴ καὶ τῶν αὐτοῦ εὐγενικῶν ἀρχόντων καὶ βουλευτῶν, καὶ ἀνεζήτησαν τὴν ἀναδοχὴν καὶ ἀγάπην καὶ εὔνοιαν τῆς βασιλείας μου, καὶ ἵνα ποιήσωνται καὶ πάλιν οὗτοι ἐνταῦθα τῇ εὐδαίμονι καὶ θεοφυλάκτῳ πόλει Τραπεζοῦντος τὴν σκάλαν αὐτῶν καθὰ καὶ οἱ Γενουῖται. τὴν ἀποστολὴν καὶ τὸ τοιοῦτον αὐτῶν ἀποκρισιαρικὸν καὶ τὰ μηνυθέντα ζητήματα ἀσμένως πάντα καὶ χαροπῶς ἡ βασιλεία μου προσδεξαμένη τὸν παρόντα ταύτης χρυσόβουλλον λόγον αὐτοῖς ἐπορέγεται, δι᾽ οὗ καὶ ὀφείλουσι τὸ ἀπὸ τοῦδε ὡς ἐξ ὁρισμοῦ τῆς βασιλείας μου οἱ τοιοῦτοι εὐγενεῖς ἄνδρες καὶ δοῦλοι πιστοὶ τῆς εὐδαίμονος Βενετίας ἀπὸ μεγάλων ἕως μικρῶν πάσης καὶ παντοίας ἀναδοχῆς καὶ εὐνοίας ἀπολάβωσι τῆς ἀπὸ τῆς βασιλείας μου, καὶ ὑπάγωσι καὶ ἔρχωνται ἐνταῦθα καὶ ἐν ὅλῃ τῇ χώρᾳ ταύτης θαρρούντως πάντῃ καὶ προσηνῶς, ἔτι δὲ ἀκωλύτως καὶ ἀπαρεμποδίστως διαφυλαττόμενοι ἐν ὅλῃ τῇ χώρᾳ τῆς βασιλείας μου καὶ τοῖς κάστροις αὐτῆς, ἔτι δὲ ταῖς πολιτείαις καὶ τοῖς συνήθεσι λιμέσιν ἀνενόχλητοι, ἀκαταδυνάστευτοι καὶ ἄφοβοι ἀπό τε τῆς βασιλείας μου, τῶν ἀρχόντων καὶ κεφαλάδων μου, τῶν κατέργων, καραβίων καὶ ἑτέρων τοιούτων ξύλων μου, ἤγουν καὶ αὐτοὶ καὶ τὸ προσὸν αὐτοῖς διάφορον καὶ παντοῖον πρᾶγμα, τὰ κάτεργα, τὰ καράβια καὶ τοιαῦτα αὐτῶν ἕτερα ξύλα καὶ διὰ ξηρᾶς καὶ διὰ θαλάσσης, καὶ εὐδιάζωσι



ΕΡΓΑΣΤΗΡΙΟ ΕΚΔΟΣΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. τ.Ι. της ΙΩΑΝΝΙΝΑ 2006

τὰς δοκούσας καὶ νενομισμένας αὐτοῖς συνήθεις πραγματείας κατὰ τὸν δοκοῦντα καὶ νομιζόμενον αὐτοῖς καὶ οἱονδήτινα τρόπον καὶ ἐπὶ τῇ ἀποδόσει τοῦ συνήθους κομερκίου. ἐπειδὴ παρεκλήτευσαν τὴν βασιλείαν μου καὶ τὸ πᾶν τῆς γνώμης αὐτῶν εἰς ταύτην ἀνέθεντο, διά τοι τοῦτο καὶ δι' ἣν ἐνεδείξαντο καὶ εἰς ἔπειτα μέλλουσιν ἐνδείκνυσθαι δουλοσύνην ὁλοσχερῶς εἰς τὴν βασιλείαν μου, προστάσσει ἡ βασιλεία μου καὶ ἐπεγκελεύεται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς, ὡς ἂν ἀπεκβάλωσι καὶ οὗτοι τὸ σύνηθες, ὡς εἴρηται, κομέρκιον ἐνταῦθα κατὰ τὴν τῶν Γενουϊτῶν τάξιν τε καὶ συνήθειαν, καὶ οὔτε πλέον, οὔτε μὴν ἔλαττον, ἄνευ τῆς τοῦ ζυγίου ἀπεκβολῆς, καθὼς μέλλει ῥηθήσεσθαι κάτωθεν. ἵνα δὲ καὶ κατὰ μέρος τὰ τῆς ἀπεκβολῆς καὶ ἐνωνύμως διορισώμεθα, ἔσται οὕτως· ἐπὶ τῇ ἐλεύσει τῶν διὰ θαλάσσης παντοίων γομαρίων. ὅσα μὲν τούτων καὶ ἐν τοῖς ἔξω μέρεσιν ἀπέρχονται ἐν τῇ ἐκβολῇ, ἵνα ποιῶνται τὴν ἀπεκβολὴν οἱ πραγματευταὶ ὑπὲρ ἑνὸς ἑκάστου γομαρίου ἄσπρα τῆς χαραγῆς τῆς βασιλείας μου εἴκοσιν, ὅσα δὲ τούτων λύονται καὶ διαπωλοῦνται ἐνταῦθα, εἰ μὲν ἡ διαπωλουμένη πραγματεία πέφυκε διὰ ζυγίου καὶ πρὸς ἀλλογενὲς πρόσωπον καὶ μὴ ἐκ βενετικῆς ὄν γε φυλῆς, ἵνα δίδωσιν ὁ διαπωλητὴς εἰς τὰ ἑκατὸν δύο· τρία γὰρ ὑπῆρχον πρότερον, ἀλλὰ διὰ τὴν τοῦ κουμουνίου Βενετίας τιμὴν καὶ τὴν ἀξίωσιν τοῦ τοιούτου ἀποκρισιαρίου καὶ τῶν Βενετίκων ποιεῖ δωρεὰν ἡ βασιλεία μου, ἵνα εἰσὶ δύο. ὡσαύτως ἵνα δίδωσιν ὁ τοιοῦτος διαπωλητὴς καὶ ὑπὲρ ζυγίου δύο ἥμισυ, τοῦτ' ἔστιν ἀντὶ τῶν προτέρων πέντε ἥμισυ τοῦ ζυγίου νῦν τέσσαρα ἥμισυ, καὶ ὁ ἀγοραστὴς κατὰ τὴν προκειμένην καὶ προτέραν συνήθειαν. εἰ δ' ἴσως οὐκ ἔστι διὰ ζυγίου, ἵνα δίδῃ τρία μόνα εἰς τὰ ἑκατόν. ἂν δ' ὅ τε πωλῶν καὶ ὁ ἀγοράζων ὦσι Βενέτικοι καὶ διὰ ζυγίου, ὁ πωλητὴς δύο ἥμισυ καὶ ὁ ἀγοραστὴς ὁμοίως δύο ἥμισυ· εἰ δὲ ἄνευ ζυγίου, καὶ ἄμφω τὸ παράπαν οὐδέν. ἔστω δὲ γνωστόν, ὅτι τὸ γομάριον τὸ μήτε λυθὲν ἢ λυθὲν καὶ τηρηθὲν καὶ μὴ διαπωληθέν, μήτε εἰς ἐξωτίαν ἀποσταλέν, ἀλλ' ὀπίσω μεταστραφὲν ἀκομμέρκευτον διαφυλαχθήσεται. ἔτι δὲ χρυσίον, ἀργύριον, λιθομαργαρίταρον, ζωνάρια καὶ τὰ παραπλήσια, ὡς σύνηθες, ἀκομμέρκευτα καὶ ταῦτα συντηρηθήσονται, πλὴν δ' ἐπὶ τῇ ἐκβολῇ τῶν γομαρίων τὰ τούτοις ἀνήκοντα εἴκοσι ἄσπρα συνήθως ἀπαιτηθήσονται. καὶ περὶ μὲν τῶν διὰ θαλάσσης ἐρχομένων παν-

τοίων γομαρίων, ὡς εἴρηται, οὕτως διαπραχθήσεται. περὶ δὲ τῶν διὰ ξηρᾶς ἐρχομένων ὁμοίως καὶ αὖθις οὕτω, πλὴν ἐπὶ τῇ ἐκβολῇ τῶν γομαρίων ἄσπρα δώδεκα καὶ ἐπὶ τῇ πωλησίᾳ εἰς τὰ ἑκατὸν ἓν ἀπαιτηθήσονται. πρὸς τούτοις Βενέτικος διαπωλῶν ἢ καὶ ἀγοράζων βλαττία, κολιχάρτια καὶ ἕτερα τοιαῦτα παντοῖα εἴδη πλεῖστα ἢ καὶ ὀλίγα εἰς τὰ ἑκατὸν ἓν ἀποτίσει. καὶ ταῦτα μὲν οὕτω κατὰ τὴν τῶν Γενουϊτῶν ἔσται συνήθειαν. εἰ δ' ἴσως καὶ ἐξ ἀλλοδαπῆς φυλῆς τινος ἕτεροι συνάμα αὐτοῖς ἐνταῦθα καταλάβωσιν, οὐ κατ' αὐτοὺς οὗτοι κομμερκευθήσονται, ἀλλ' ὡς ξένοι, τυχὸν καὶ ἀλλότριον. τὴν δὲ τοιαύτην δουλείαν τοῦ κομμερχίου ἡ βασιλεία μου καὶ τὸ θεοφρούρητον αὐτῆς βεστίαριον καθέξει πάντοτε, καὶ πρὸς ἀλλότριον οὐκ ἐκδώσει πρόσωπον, εἰ μήπω γε πρὸς αὐτοὺς δὴ τοὺς Βενετίκους, ὁπηνίκα δὴ συμβιβασθέντες θελήσωσιν. ἔτι ἐπεγκελεύεται ἡ βασιλεία μου ἔχειν τούτους ἴδιον ζύγιον καὶ πεκουλικὸν, ἔτι δὲ σπιθαμὴν καὶ ταλαλίους ἐκ τῶν πρὸς γένους, καθὰ δὴ καὶ οἱ Γενουῖται κέκτηνται. ἐπειδὴ καὶ τόπον εἰς διανάπαυσιν οὗτοι τούτων παρὰ τῆς βασιλείας μου ἐξῃτήσαντο, ἡγησαμένη καὶ τοῦτο δέον αὐτοῖς, διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου πρὸς αὐτούς, ὡς ἂν ἔχωσι καὶ νέμωνται ἐλευθερίαν καὶ ἀκαταζήτητον πάντη χάριτα καὶ δωρεὰν παρὰ τῆς βασιλείας μου τὴν τοποθεσίαν τὴν οὖσαν καὶ διακειμένην κάτωθεν τῆς μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος καὶ σεβαστοῦ Θεοδώρου τοῦ Γαβρᾶ, ἥτις δὴ τοποθεσία περιορισθεῖσα μεμετρημένως τοιαύτην ἔχει διατύπωσιν. ἄρχεται ἀπὸ τὴν ἔξοδον ἐκ τῆς ἀκρογωνιαίας τοῦ χαμαιστέγου οἰκήματος, καὶ ἀπέρχεται κατὰ ἀνατολὰς τὴν ὁδὸν τοῦ ἁγίου Χριστοφόρου καὶ τοῦ ἁγίου Νικήτου ἕως εἰς ἄλλην γωνίαν οἰκήματος, ἔνθα ἐστὶν ἑτέρα ὁδός, καὶ κατέρχεται κατὰ θάλατταν τὴν αὐτὴν ὁδὸν πρὸς τὴν λατινικὴν ἐκκλησίαν, εἶτα κυκλοειδῶς ὁδεύει πρὸς δύσιν ἕως εἰς τὴν . . . . . ἀπόδοσιν καὶ τοῦ ἁγίου Χριστοφόρου, καὶ ἀναδραμοῦσα ἀποδίδωσιν, ὅθεν ἤρξατο, καὶ γίνεται ὀργυιῶν βασιλικῶν δέκα, χειροσπιθάμων ὀγδοήκοντα πέντε, τὰς τοιαύτας δηλονότι ὁδὰς ἀκαταδουλώτας φυλάττουσα γύρωθεν, ὥσπερ εἰσὶ νῦν· τοὺς δὲ ναοὺς τοῦ ἁγίου Χριστοφόρου καὶ τοῦ ἁγίου Νικήτου προστάσσομεν εἶναι ἀκαταδουλώτους καὶ ἔξω τοῦ τοιούτου περιορισμοῦ. ὁ μὲν ἅγιος Χριστοφόρος ἵνα ἔχῃ ἀπὸ δύσεως εἰς νομὴν αὐτοῦ τὴν ἐκεῖσε πηγήν, ἀπὸ δ' ἀνατολῆς ὀργυίαν μίαν. ὁ δὲ ἅγιος Νικήτας ἀπὸ μὲν

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ Π. ΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΑΔ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δύσεως τὴν γωνίαν τοῦ Φωτόπλου, ἀπὸ δὲ ἀνατολῆς οὐργίας δύο. εἰς γοῦν τὴν τυπωθεῖσαν τοῖς τοιούτοις Βενετίκοις περίοδον ὀφείλουσιν ἀναγεῖραι ἐκκλησίαν καὶ τάξαι φρερίους ἐν αὐτῇ τρόπον ὃν βούλονται, καὶ ἀνοικοδομῆσαι οἰκήματα παντοῖα καὶ λώντζαν συνήθη καὶ ἀναγαγεῖν ἐνταῦθα καὶ μπαΐουλον εἰς κρίσιν καὶ ἀποκατάστασιν τῶν Βενετίκων, ἔχοντες τοὺς συνήθη πλατζιαρίους καὶ τὰ τούτων ἀρχοντόπουλα καὶ παιδόπουλα κατὰ τὴν τῆς Ῥωμανίας συνήθειαν, καὶ καθὼς ἐκεῖσεν ὁ τοιοῦτος μπαΐουλος πολιτεύεται εἰς ἀποσόβησιν τοῦ ἀδίκου καὶ [ἐπαναγωγὴν] τοῦ δικαίου· τοῦτο γὰρ δὴ καὶ ἡ βασιλεία μου κατὰ τὸ προσῆκον ἀσπάζεται καὶ ἀποδέχεται, ἐπεγκελεύεται δὲ καὶ τοῦτο κεφαλαιωδῶς εἰπεῖν ἡ βασιλεία μου. εἴτ' ἂν κατὰ τὴν μεταξὺ ταύτης [καὶ] τοῦ μεγαλοπεριφανεστάτου δουκὸς Βενετίας, τῶν ἐκεῖσε βουλευτῶν καὶ τοῦ ῥηθέντος ἀποκρισιαρίου προβᾶσαν φιλικὴν ἕνωσιν καὶ διάθεσιν ἔνθα τὸ θεόσωστον ναυστόλημα τῆς βασιλείας μου καὶ ἡ τῶν Τραπεζουντίων καραβόπλοια ἐντύχωσι τοῖς κατέργοις καὶ καραβοπλοίοις τῶν τοιούτων Βενετίκων, ἔχωσιν ἐν μέσῳ παντοίαν καὶ πᾶσαν εἰρηνικὴν κατάστασιν καὶ φιλότητα, ἕκαστον μέρος ἑκάστῳ παραχωροῦντες τὸ ἀνενόχλητόν τε καὶ ἥσυχον, εἰς ἀποθεράπευσιν μὲν τῶν φιλούντων, ἀποτροπὴν δὲ τῶν μισούντων καὶ ἀποσόβησιν· ἔτι ἐνταῦθα ἵνα τηρηθήσωνται καὶ διαφυλαχθήσωνται παρὰ τῆς βασιλείας μου οἱ τοιοῦτοι Βενέτικοι καὶ πάντα τὰ περὶ αὐτοῖς πράγματα ἀνενόχλητοι καὶ ἀκαταδυνάστευτοι ἀπὸ πάντα ἐχθρὸν καὶ ἐναντίον αὐτῶν. καὶ ἡ μὲν σὺν θεῷ βασιλεία μου τοιουτοτρόπως διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς διορίζεται καὶ βέβαια δὴ καὶ ἀπαράθραυστα τὰ δὲ διωρισμένα θεσπίζει διαφυλάττεσθαι μέχρι παντός. ὁ δέ γε τολμήσων ἐμποδισμὸν ἐπάξαι καὶ διενόχλησιν, ὁποῖος ἄρα καὶ εἴη, ὀργὴν βαρεῖαν καὶ σφοδρὰν, ἀγανάκτησιν καὶ ἐπεξέλευσιν ὡς ἄπιστος ὑποστήσεται παρὰ τῆς βασιλείας μου τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ἐν ᾧ καὶ τὸ ταύτης εὐσεβὲς καὶ θεοπρόβλητον κράτος τὰ συνήθη συνήθως ὑπεσημήνατο κατὰ τὸν παρόντα μάρτιον μῆνα καὶ β' ἰνδικτιῶνα τοῦ ,ς ω ο β' ἔτους †.

† Ἀλέξιος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ πάσης Ἀνατολῆς, Ἰβήρων καὶ Περατείας, ὁ μέγας Κομνηνός †.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ψηφιοποίηση Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

A tergo: Εἶχε ταῦτα ἐν ἑκατέροις τοῖς κεκολλημένοις τμήμασι τῶν χαρτίων γεγραμμένον· τὸ παρὸν σὺν θεῷ ἁγίῳ χρυσόβουλλον διωρίσθη κατὰ τὸν ἐνεστῶτα μάρτιον μῆνα τῆς β' ἰνδ. τοῦ ,ςωοβ' ἔτους.

*Transscriptam habes pactionem in cod. msc. chartaceo bibliothecae regiae Taurinensis CXVII. fol. 20., ex quo minus accurate edidit Pasini: Codices msc. bibl. Taurinensis 1. 222. Nos editionem Pasinii cum codice contulimus et correximus.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## XXXIII. 6898—1390. 2. iunii ind. XIII.

*Imperator Ioannes Palaeologus prorogat anteriores pactiones cum Venetis factas in annos quinque.*

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς Ῥωμαίων καὶ αὐτοκράτωρ, ὁ Παλαιόλογος καὶ ἀεὶ αὔγουστος. ἐπειδὴ ὁ λαμπρὸς καὶ ὑπερέχων κῦρις Ἀντώνιος Βενέριος, θεοῦ χάριτι δοὺξ Βενετίας καὶ τὰ λοιπὰ, ἀπέστειλε πρὸς ἡμᾶς καὶ τὴν ἡμετέραν παρουσίαν ἐν τῇ Κωνσταντινουπόλει, τῇ περιφήμῳ ἡμετέρᾳ πόλει, τὸν ἐξῃρημένον εὐγενῆ καὶ φρόνιμον ἄνδρα κῦριν Φραντζέσκον Φούσκουλον ἔντιμον αὐτοῦ ἀποκρισιάριον εἰς τὰ μέρη τῆς Ῥωμανίας, σύνδικον καὶ ἐπίτροπον τοῦ αὐτοῦ λαμπροτάτου καὶ ὑπερέχοντος κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, ἔχοντα ἐντελῆ ἐξουσίαν, ἐλευθερίαν, ἄδειαν καὶ ὁρισμὸν τρακταΐσαι, ποιῆσαι, βεβαιοῦν καὶ πληροῦν τρέβας καὶ συνθήκας τὰς κατωτέρω γραφομένας μέσον ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ προρρηθέντος κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, καθὼς δηλοῦται δημοσίῳ τινὶ συμβολαίῳ συνδικικῷ, γραφέντι χειρὶ Ἰωάννου ντὲ Ἀντέλου, υἱοῦ τοῦ ἀπὸ τῆς Βενετίας Πέτρου, δημοσίου νοταρίου βασιλικῇ ἐξουσίᾳ καὶ γραμματικοῦ τοῦ δουκάτου τῆς Βενετίας, ἔτει τῆς τοῦ κυρίου γεννήσεως χιλιοστῷ τριακοσιοστῷ ἐννενηκοστῷ, μηνὶ ἀπριλλίῳ, ἡμέρᾳ ἑνδεκάτῃ, ἰνδικτιῶνος τρισκαιδεκάτης, ὀχυρωμένῳ μολιβδίνῃ βούλλῃ τοῦ προειρημένου κυροῦ δουκὸς, καὶ μέντοι μετὰ πολλὰς ὁμιλίας καὶ τρακταϊσμοὺς γενομένους μεταξὺ ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ προειρημένου συνδίκου, ἐπιτρόπου καὶ ἀποκρισιαρίου ἐντίμου, διὰ ταῦτα ἡμεῖς ὅ τε Ἰωάννης ἐν

ΕΚΔ. ΚΑΙ ΓΡ. ΚΠ ΙΩΑΝΝΙΝΑ 2006

Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς Ῥωμαίων καὶ αὐτοκράτωρ, ὁ Παλαιολόγος, ὑπὲρ ἐμαυτοῦ καὶ τῆς βασιλείας ἡμῶν, ἔτι τε τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν, ὁμοίως δὲ καὶ ὁ εἰρημένος ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος ὀνόματι καὶ δικαίῳ τοῦ προειρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ὑπὲρ εἰρήνης καὶ ἀγάπης ἑκατέρωθεν ὀφειλούσης τηρηθῆναι καὶ φιλίας ἐπὶ τὸ κρεῖττον αὐξηνθῆναι, ἐπικαλεσάμενοι τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα τοῦ Χριστοῦ, συνήλθομεν, ἵνα ἀπὸ τῆς παρούσης ἡμέρας καὶ ἔμπροσθεν μέχρι πέντε ἐτῶν τῶν ἐφεξῆς ἀκολουθησόντων διαμένωσιν ἐν ἰσχύι καὶ ἀκμῇ τρέβαι εἰλικρινεῖ ὁμονοίᾳ ὀφείλουσαι διαρκεῖν μεταξὺ ἡμῶν τε καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ ἡμετέρου λαοῦ, ἔτι τε τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν, ὁμοίως δὲ καὶ τοῦ εἰρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας μέχρι τοῦ εἰρημένου τῶν πέντε ἐτῶν ὅρου καὶ πάντων τῶν ὑποτεταγμένων αὐτῷ, στηρίζοντες καὶ βεβαιοῦντες πάσας τὰς τρέβας μετὰ πάντων τῶν κεφαλαίων καὶ τῶν πράξεων, στοιχημάτων, συμφωνιῶν, ἐξηγήσεων, ἐξετάσεων, βεβαιώσεων καὶ ζημιῶν, ἐπιθέσεων καὶ πάντων τῶν ἄλλων τῶν περιεχομένων ἐν ταῖς παρελθούσαις τρέβαις, καθὼς μέχρι τοῦ νῦν ἐστι σύνηθες, καὶ ἔτι σαφηνιῶν καὶ ὅρων τῶν ἐν αὐταῖς γεγραμμένων, ὅτι εἰ καὶ ὁ κῦρις δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἀπὸ τοῦ τύπου τῶν παλαιῶν καὶ τῶν νέων τρεβῶν ἔχουσι φανερῶς, ὥστε ἐξεῖναι τοῖς αὐτῶν Βενετίκοις ὠνεῖσθαι ἐλευθέρως οἰκίας, τόπους, περιβόλια, κτήματα ἐν τῇ Κωνσταντινουπόλει καὶ ἐν πάσῃ τῇ βασιλείᾳ ἡμῶν, ὅμως οἱ προειρημένοι, ὅ τε κῦρις δοὺξ καὶ τὸ κουμούνιον Βενετίας κατανοοῦντες τὴν παροῦσαν κατάστασιν τῆς βασιλείας ἡμῶν, ἵνα γνῶμεν τὴν περὶ ἡμᾶς αὐτῶν καλὴν διάθεσιν ὑπὲρ τῆς ἡμετέρας συντηρήσεως, προνοήσαντο ὁδῷ τινι κουρτεσίας καὶ ἀγάπης ἀρέσαι ἡμῖν κατὰ τοῦτον τὸν τρόπον, ὥστε μὴ ἐλαττουμένων διὰ τοῦτο τῶν ἐλευθεριῶν πασῶν, ἃς ἔχουσι καὶ ὀφείλουσιν ἔχειν οἱ Βενέτικοι διὰ τῶν τρεβῶν, κωλύειν τοὺς αὐτῶν Βενετίκους ἀγοράζειν ὀσπήτια, τόπους, περιβόλια καὶ καταστήματα μέχρι τῆς συμπληρώσεως τοῦ ὅρου τῶν παρουσῶν τρεβῶν, πλὴν ἐναπομενόντων ἐν ταῖς χερσὶν τῶν Βενετίκων τῶν νῦν κατεχομένων ὑπ' αὐτῶν μετὰ πάντων τῶν δικαίων καὶ τῶν τρόπων, μεθ' ὧν κατέχωσι ταῦτα κατὰ τὸ παρόν. δῆλον δέ ἐστιν, ὡς εἰ καὶ λίαν ἐστὶ σαφὲς διὰ τῶν τρεβῶν καὶ οὐ δεῖ ἐπιπλείονος ἐξηγήσεως, ὅτι διὰ

τὴν εἰρημένην πρόφασιν οὐδεμία ἐκ νέου δόσις, κομμέρκιον ἢ φύτευμα γενήσεται ἐπιτεθῆναι δι' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν ταῖς οἰκίαις, τόποις, κτήμασι καὶ περιβολίοις τῶν νῦν ὄντων ἐν ταῖς χερσὶ τῶν Βενετίκων, ἅπερ καινουργήματα καὶ βάρη δύνανται ἀναφερέσθαι εἰς ζημίαν καὶ πρόκριμα τῶν Βενετίκων. ἔτι ἐπειδὴ ἡμεῖς ὁ βασιλεὺς εἴπομεν τῷ ῥηθέντι συνδίκῳ, ἀποκρισιαρίῳ καὶ ἐπιτρόπῳ, ὅτι τὰ ἡμέτερα εἰσοδήματα καὶ κομμέρκια κατὰ πολὺ βλάπτονται διὰ τὰ πολλὰ καπηλεῖα, ἅτινα κρατῶσιν οἱ Βενέτικοι ἐν τῇ Κωνσταντινουπόλει, καὶ τῇ μεγάλῃ ποσότητι τοῦ ἐν αὐτοῖς πιπρασκομένου κρασίου καὶ δέον διὰ ταῦτα πρόνοιαν ὑπὲρ τούτων γενέσθαι, τούτου χάριν, εἰ καὶ διὰ τὸν τύπον τῶν τρεβῶν ἔξεστι τοῖς Βενετίκοις κρατεῖν καπηλεῖα κατὰ πάντα ἀριθμὸν καὶ πωλεῖν καὶ ἀγοράζειν ἐλευθέρως, καθὼς θέλουσι, ὅμως ὁδῷ κουρτεσίας καὶ ἀγάπης ἐκρίναμεν πρόνοιαν τούτου ποιήσασθαι οὕτως, ὥστε δηλονότι μέχρι τοῦ ὅρου τῶν παρελθουσῶν τρεβῶν τὸν κῦριν δούκαν καὶ τὸ κουμούνιον Βενετίας τάξῃ τοὺς ἑαυτῶν Βενετίκους δεκαπέντε καπηλεῖα μόνα ἔχειν ἐν τῇ Κωνσταντινουπόλει, παύσωσι δὲ τὰ ἄλλα πάντα, ἐν οἷς ταχθεῖσι καπηλείοις δυνήσονται οἱ αὐτῶν Βενέτικοι κρασίον παντοῖον πωλεῖν κατακοπτικῶς, κατὰ πᾶσαν ποσότητα, ἄνευ τινὸς βάρους νοουμένου, ὅτι διὰ τῆς παρούσης συγκαταβάσεως μὴ νοεῖσθαι διὰ τοῦτο ἐλαττοῦσθαι ἐν τῷ μέλλοντι χρόνῳ τὰς ἐλευθερίας τῶν Βενετίκων, καθὼς ἐστι δίκαιον. ἔτι μέσον ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ ῥηθέντος κυροῦ ἀποκρισιαρίου, συνδίκου καὶ ἐπιτρόπου γέγονε σαφές, ὥστε ὑπὲρ τοῦ πᾶσαν ἀμφιβολίαν ἀναιρηθῆναι, δύνασθαι τοὺς Βενετίκους ἐλευθέρως πωλεῖν σῖτον ἐν παντὶ μέρει καὶ τόπῳ τῆς βασιλείας ἡμῶν, ὅπου οὐκ ἔστι προσφόριον, σωζομένου τοῦ μὴ τὸν σῖτον ἐκεῖνον γεωργεῖσθαι ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ, ὅπερ ἐναπομενέτω κατὰ τὸν τύπον τῶν τρεβῶν· εἰ δὲ οἱ Βενέτικοι θέλωσι πωλεῖν ἐν τῷ τόπῳ τοῦ προσφορίου, δύνανται πωλεῖν ἀποδιδόντες τὸ κομμέρκιον, πλὴν εἴ τις τῶν Ῥωμαίων θελήσει πωλεῖν σῖτον, ὅπου ὁ Βενέτικος ἔξω τοῦ προσφορίου πωλεῖν, τότε ὁ Βενέτικος οὐκ ἀποφλήσει κομμέρκιον διὰ τὸ ἔχειν ἄδειαν πωλεῖν. καὶ ἐπειδὴ πολλαὶ διαφοραὶ γεγόνασι μέσον ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας περὶ τοῦ τόπου τοῦ προσφορίου, ὑπὲρ μείζονος σαφηνίας τάττομεν τὸν εἰρημένον τοῦ προσφορίου τόπον εἶ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
E.6.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ναι καὶ εἶναι νοεῖσθαι κατὰ τοὺς ἀρχῆθεν εἰωθότας χρόνους. ἔτι ἐπεὶ ὁ ῥηθεὶς ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος ἐπήγγειλεν ἡμῖν, ὅτι τινὲς Βενέτικοι καὶ καταλογιζόμενοι Βενέτικοι ἐγένοντο διὰ τῆς βασιλείας ἡμῶν Ῥωμαῖοι, ἤρεσεν ἡμῖν καὶ τῇ ἡμετέρᾳ βασιλείᾳ ἀνατρέψαι τὸ γεγονὸς περὶ τοὺς Βενετίκους καὶ τοὺς ὡς Βενετίκους διαβιβασμένους, τοὺς γεγονότας δηλονότι Ῥωμαίους ἐναντίως τοῦ τύπου τῶν τρεβῶν ἀπὸ τοῦ καιροῦ τῶν τελευταίων τρεβῶν τῶν γενομένων ἐν τῇ Κωνσταντινουπόλει μέχρι τῶν νῦν, οὕτως ὥστε τοὺς εἰρημένους Βενετίκους καὶ γενομένους Ῥωμαίους περαιτέρω μὴ διαβιβάζεσθαι ὡς Ῥωμαίους, ἀλλ' ὡς Βενετίκους. ἔτι περὶ τῶν ἐξωτερικῶν κρασίων ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ ἡμετέρα βασιλεία ὑπισχνούμεθα καὶ ἀρέσκει ἡμῖν γενέσθαι καὶ φυλάττεσθαι τὸ περὶ τούτου κατὰ τὸν τύπον τῶν τρεβῶν. ἔτι ὑπὲρ τοῦ σιταρίου ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ ἡμετέρα βασιλεία λέγομεν καὶ ἀρέσκει γίνεσθαι ἐπὶ τούτῳ κατὰ τὸν τύπον τῶν τρεβῶν, μενουσῶν μέντοι τῶν ἄλλων πασῶν ἐλευθεριῶν τῶν οὐσῶν ἐπὶ πάσαις ταῖς ἄλλαις πραγματείαις καὶ πράγμασιν εἰς τὴν αὐτῶν κατάστασιν, καθὼς ἐν ταῖς τρέβαις διαλαμβάνεται. ἔτι ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ ἡμετέρα βασιλεία ὑπισχνούμεθα τῷ εἰρημένῳ ἀποκρισιαρίῳ, ἐπιτρόπῳ καὶ συνδίκῳ, ὥστε πάντα τὰ καινοργήματα, τὰς ἀφαιρέσεις, τὰς ζημίας, προσκρούματα καὶ βλάβας τὰς γενομένας δι' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν τοῖς ὑποτεταγμένοις τῷ εἰρημένῳ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ἐν τῷ καιρῷ καὶ μετὰ τὸν καιρὸν τῶν τελευταίων τρεβῶν τῶν γενομένων ἐν τῇ Κωνσταντινουπόλει καὶ μετὰ ταῦτα ἐναντίως τοῦ τύπου τῶν τρεβῶν καταλῦσαι καὶ διορθώσασθαι καὶ ἐπαναγαγεῖν εἰς τὴν ὀφειλομένην εἶναι καὶ ἐν ᾗ ἦσαν καταστάσει, καθὼς ἐστι δίκαιον καὶ ὀφείλομεν κατὰ τὸν τύπον τῶν τρεβῶν. ὁμοίως δὲ καὶ ὁ εἰρημένος ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος ὀνόματι καὶ δικαίῳ τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ὑπισχνεῖται ἡμῖν καὶ τῇ βασιλείᾳ ἡμῶν πάντα τὰ ἄλλα καινοργήματα, ἀπαιτήσεις καὶ ἀδικίας, προσκρούματα καὶ ζημίας τὰ γινομένας διὰ τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας τοῖς ὑποτεταγμένοις ἡμῖν ἀπὸ τοῦ καιροῦ καὶ ἐν τῷ καιρῷ τῶν τελευταίων τρεβῶν τῶν γενομένων ἐν τῇ Κωνσταντινουπόλει καὶ μετὰ ταῦτα ἐναντίως τοῦ τύπου τῶν τρεβῶν διορθώσασθαι καὶ ἐπαναγαγεῖν εἰς ἣν ἦσαν κατάστασιν καὶ ἣν ὀφείλουσιν

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Υ. Πέτσιος Κ. τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εἶναι, καθὼς ἐστι δίκαιον καὶ καθὼς ὀφείλει ἀπὸ τοῦ τύπου τῶν τρεβῶν. ἔτι ἐπειδὴ ἡμεῖς καὶ ἡ ἡμετέρα βασιλεία ὀφείλομεν καὶ ἀπολειπάζομεν δοῦναι καὶ ἀποφλῆσαι τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ὑπὲρ ἀποφλήσεως τῶν παλαιῶν ζημιῶν ὑπέρπυρα δεκαεπτὰ χιλιάδας καὶ ἑκατὸν ἑξηκοντατρία, ὑπισχνούμεθα τῷ ῥηθέντι ἀποκρισιαρίῳ, συνδίκῳ καὶ ἐπιτρόπῳ τῷ προρρηθέντι ὀνόματι δοῦναι καὶ ἀποφλῆσαι τὰ τοιαῦτα ὑπέρπυρα διὰ πέντε ἐτῶν τῶν ἐφεξῆς ἐλευσομένων, ἀρχομένης τῆς διωρίας τῶν εἰρημένων χρόνων ἀπὸ τῆς ἡμέρας, καθ' ἣν γέγονε τὸ παρὸν γράμμα; γραφὲν τῇ δευτέρᾳ τοῦ ἰουνίου, διαιρουμένων τῶν εἰρημένων ὑπερπύρων κατὰ πέμπτον καὶ ἀποδιδομένων τοῦ μέρους κατ' ἐνιαυτὸν τῶν ἐπιβαλλόντων τῷ μέρει, ἤγουν τὸ πέμπτον, ὅπερ ἐστὶν ὑπέρπυρα τρισχίλια τετρακόσια τριάκοντα δύο, κοκκία δεκατέσσαρα ἥμισυ ἔγγιστα, τὸν αὐτὸν δὲ τρόπον καὶ ἐφεξῆς, μέχρις ἂν πληρωθῇ ἡ ἀπόφλησις τῶν εἰρημένων ὑπερπύρων, τοῦτ' ἔστιν τῶν δεκαεπτὰ χιλιάδων καὶ ὑπερπύρων ἑκατὸν ἑξηκοντατριῶν, καὶ ἱκανοποιήσωμεν ἀκεραίως ἐν τοῖς δηλωθεῖσιν ὅροις τῶν πέντε ἐτῶν τῶν προρρηθέντων, συνάπτοντες ἐνιαυτὸν ἐνιαυτῷ καὶ μῆνα ὡς μῆνα, τοῦτ' ἔστιν ἀπὸ ἰουνίου μέχρι καὶ ὅλον μάϊον, ἃ καὶ ἀποδώσομεν ἐν τοῖς εἰρημένοις καιροῖς, πάσης προφάσεως ἀναιρουμένης, ἐν ταῖς χερσὶ μπαΐούλου τῶν Βενετίκων τοῦ κατὰ καιροὺς εὑρισκομένου ἐν τῇ Κωνσταντινουπόλει ἢ τοῦ εὑρισκομένου ἢ εὑρισκομένων, οἷς ὁ κῦρις δοὺξ καὶ τὸ κουμούνιον Βενετίας κρίνωσι ταχθῆναι, σωζομένων καὶ φυλαττομένων πασῶν καὶ ἑκάστων ζημιῶν Βενετίκων μὴ τεταγμένων, αἷς διὰ τὰς παρούσας τρέβας μὴ ἔστωσαν εἰς ἐλάττωσιν ἢ τὸ ἀνάπαλιν, σωζομένων καὶ φυλαττομένων τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας πάντων τῶν δικαίων καὶ τῶν ἀγωγῶν, ἃς ὁ κῦρις δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἔχουσιν ἢ δύνανται ἔχειν καθ' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν ἔν τινι συμβολαίῳ δουκάτων χρυσῶν χιλιάδων τριάκοντα περί τε κεφαλαίου, τόκου, ἐξόδου καὶ ζημίας καὶ τῶν διαμέσου καὶ πάντων τῶν ἄλλων τῶν τούτοις ἀπηωρημένων, καθὼς περιέχεται ἐν τῷ εἰρημένῳ συμβολαίῳ τοῦ χρέους, δ δὴ γράμμα καὶ χρέος οὔτε νοεῖσθαι, οὔτε δύνασθαι ὀφείλει νοεῖσθαι ὡς ἐλαττουμένον ποσῶς ἢ ἄκυρον διὰ τῆς παρούσης τρέβας καὶ συμφωνίας, μᾶλλον μὲν οὖν ἐν τῇ αὐτῇ καταστάσει καὶ τῷ δικαίῳ καὶ τῇ βεβαιότητι, ἐν οἷς ἦν καὶ πρὸ τοῦ γενέσθαι τὴν πα-

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΡΟΣ
Ε.Σ.Δ. ΤΟΜΕΑΣ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ροῦσαν τρέβαν, διαμενέτω βέβαιον καὶ ἀκέραιον καὶ ἔστω καὶ εἶναι νοείσθω, γραφὲν τὸ ῥηθὲν συμβόλαιον τῷ χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ τρίτῳ ἔτει, ἡμέρᾳ εἰκοστῇ πρώτῃ τοῦ αὐγούστου ἰνδικτιῶνος ἑνδεκάτης χειρὶ Πέτρου ντε Ἀρένα, πρεσβυτέρου τῆς ἐκκλησίας τοῦ ἁγίου Βαρθολομαίου ἐν τῇ Βενετίᾳ καὶ νοταρίου τῆς Βενετίας καὶ καγγελλαρίου τοῦ κυροῦ μπαΐούλου τῶν Βενετίκων ἐν τῇ Κωνσταντινουπόλει, ὑπὲρ ὧν χρυσῶν δουκάτων τριάκοντα χιλιάδων καὶ τῶν ἄλλων τῶν διαλαμβανομένων ἐν τῷ ῥηθέντι συμβολαίῳ ὁ κῦρις δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἔχουσιν ἀντὶ ἐνεχύρου κόσμια τῆς βασιλείας τὰ περιεχόμενα ἐν τῷ ῥηθέντι γράμματι· ἔτι σωζομένων ἀεὶ καὶ τηρουμένων κατὰ τὸ ἀκέραιον τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας πάντων τῶν δικαίων καὶ ἀγωγῶν, ἃ καὶ ἃς ὁ κῦρις δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἔχουσιν ἢ ἔχειν δύνανται πρὸς τὴν βασιλείαν ἡμῶν περί τινων δουκάτων χρυσῶν πεντακισχιλίων, δανεισθέντων τῇ βασιλείᾳ ἡμῶν ἐν τῇ Αἴνῳ παρὰ τοῦ σὺρ Μαρίνου Φαλέτρου ἐκείνου ὀνόματι τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας· ἔχουσιν ἀντ' ἐνεχύρου παλάξιον ἓν τῆς βασιλείας ἡμῶν, οὔτε μέντοι ἀποφληθέντων τῶν πεντακισχιλίων χρυσῶν δουκάτων τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ἐνέχεσθαι ἀποκαταστῆσαι τὸ εἰρημένον παλάξιον. ἔτι ὁ ῥηθεὶς κῦρις ἀποκρισίαριος, σύνδικος καὶ ἐπίτροπος τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας διὰ τῶν παρουσῶν τρεβῶν καὶ τοῦ στοιχήματος ἀφίησιν, ἀνατρέπει καὶ καταλύει πάσας τὰς ἄλλας ἀδικίας, βαρύτητας καὶ ζημίας τὰς ἐπενεχθείσας παρά τινων τῶν τῆς βασιλείας ἡμῶν καὶ τῇ βασιλείᾳ ἡμῶν καὶ τοῖς Βενετίκοις καὶ πιστοῖς τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ἕως τῆς σήμερον ἡμέρας, ἐλευθερῶν καὶ ἀπολύων καὶ ἐλευθέρους καὶ ἀπολελυμένους εἰς τὸ διηνεκὲς εἶναι θέλων ἡμᾶς καὶ τὴν βασιλείαν ἡμῶν καὶ τὸν λαὸν ἡμῶν καὶ τοὺς κληρονόμους καὶ διαδόχους ἡμῶν ἀπὸ τῶν εἰρημένων ἀδικιῶν, προσκομμάτων καὶ ζημιῶν τῶν ἐπενεχθεισῶν παρὰ τῶν προγόνων τῶν ἡμετέρων καὶ τῶν ἄλλων τῶν ὑποτεταγμένων ἡμῖν· ἰδίως δὲ περὶ ἐκείνων τῶν τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας καὶ τοῖς πολίταις τῶν Βενετίκων ἐπενεχθέντων ἐν τῷ καιρῷ τοῦ τῆς ἁγιωτάτης καὶ ὑψηλοτάτης μνήμης, ἐν Χριστῷ τῷ θεῷ πιστοῦ βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου ἐκείνου, τοῦ πατρὸς ἡμῶν, ποιοῦντος

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

ἡμῖν καὶ τῇ ἡμετέρᾳ βασιλείᾳ τοῦ εἰρημένου ἀποκρισιαρίου καὶ συνδίκου καὶ ἐπιτρόπου ὀνόματι καὶ δικαίῳ τοῦ εἰρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ἀπόφλησιν, ἐλευθερίαν καὶ τέλος, ὑπόσχεσιν καὶ στοίχημα ἡμῖν καὶ τῇ βασιλείᾳ ἡμῶν καὶ τοῖς κληρονόμοις καὶ διαδόχοις ἡμῶν, ὥστε εἰς τὸ ἑξῆς μηδὲν ἐκείνων ἀπαιτεῖν ἢ μεμνῆσθαι τὸ σύνολον. ὁμοίως ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν ὑπὲρ ἐμαυτοῦ καὶ τῶν ἡμετέρων διαδόχων ἀφίεμεν διὰ τῆς παρούσης τρέβας καὶ συμφωνίας, ἀκυροῦμεν, ἀνατρέπομεν καὶ τοῦ μηδενὸς ἄξιον ἀποφαινόμεθα πάσας τὰς ἀδικίας, προσκρούματα, ζημίας καὶ βάρη ὁπωσδήποτε ἡμῖν καὶ τῇ βασιλείᾳ ἡμῶν καὶ τοῖς κληρονόμοις καὶ διαδόχοις ἡμῶν ἐπενεχθείσας παρὰ τοῦ κυροῦ δουκὸς καὶ τοῦ καπετάνου τῶν Βενετίκων ἢ παρ' οἱωνδήτινων ἄλλων ὀφφικιαλίων ἤγουν προνοητῶν, ῥεκτόρων καὶ πάντων ἄλλων τῶν ὑποτεταγμένων τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας, ἰδίως δὲ ἀκυροῦμεν καὶ διαγράφομεν, ἀποβαλλόμεθα καὶ μὴ τοῦ μηδενὸς ἄξιον κρίνομεν πάσας τὰς ἀδικίας, προσκρούματα, ζημίας καὶ βάρη ἐπενεχθείσας ἡμῖν καὶ τῇ βασιλείᾳ καὶ τοῖς προγόνοις ἡμῶν ὁμοίως ἔν τε τῇ καταλήψει καὶ τῇ ἀρχῇ καὶ τῇ κτίσει καὶ τῇ εἰς τοὺς καρποὺς ζημίᾳ καὶ τῷ χαλασμῷ καὶ τῇ φθορᾷ καὶ τῷ πολέμῳ καὶ τῇ καταλήψει τοῦ κάστρου καὶ πολυχνίου ἡμῶν τῆς Τενέδου καὶ τὰ ἐν αὐτῇ τῇ νήσῳ, μεθ' ὧν πάντων εἶχε καὶ ἀνῆκον εἰς αὐτήν, ὡσαύτως καὶ περὶ πάντων τῶν ἄλλων τῶν ὁπωσδήποτε συμβάντων καὶ γενομένων ἐκεῖ, ἃ δυνατὸν ῥηθῆναι ἢ ἐπινοηθῆναι ἢ λογισθῆναι δύνανται, ὑπὲρ ὧν παρ' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν καὶ τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν, ὑπὲρ ὧν αὐτῷ τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας, τοῖς Βενετίκοις καὶ τοῖς πολίταις τῶν Βενετίκων μηδεὶς λόγος ῥηθείτω ἢ προτεθήτω, ἀπὸ δὲ πάντων τῶν προρρηθέντων συναντημάτων τῶν γενομένων καὶ ἐπενεχθέντων ἔστωσαν καθόλου ἀπολελυμένοι καὶ ἀνενόχλητοι διηνεκῶς ὅ τε κῦρις δοὺξ καὶ τὸ κουμούνιον Βενετίας καὶ ὁ λαὸς ὁ ὑποτεταγμένος αὐτῷ ἀπὸ πασῶν τῶν προειρημένων ἀδικιῶν καὶ ζημιῶν καὶ πάντων τῶν ἄλλων τῶν ἡμῖν καὶ τοῖς προγόνοις καὶ τῇ βασιλείᾳ ἡμῶν ἐπενεχθεισῶν μέχρι τῆς σήμερον ἡμέρας, καθὼς εἴρηται, ἀπὸ τοῦ καιροῦ δηλονότι τῶν τελευταίων τρεβῶν τῶν γενομένων ἐν τῇ Κωνσταντινουπόλει καὶ εἰς τὸ ἑξῆς. οὐ δεῖ δὲ νοεῖσθαι, ὡς διὰ τῶν παρουσῶν τρεβῶν ἢ στοιχημάτων, ὡς

Ε. Δ. τ. Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

εἴ τινες εἶεν ἔγγραφοι συμβιβάσεις, συμφωνίαι καὶ στιχήματα, ὧν τῇ δυνάμει τινὲς τῶν ὑποτεταγμένων ἡμῖν καὶ τῇ βασιλείᾳ Ῥωμαίων ἡμετέρων πιστῶν ὀφείλοντες καὶ ἐνεχόμενοι τισὶ τῶν Βενετίκων τοῖς ὑποτεταγμένοις καὶ πιστοῖς τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας, ἢ τὸ ἀνάπαλιν, οἵτινες Βενέτικοι ὑποκείμενοι καὶ πιστοὶ τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας ὀφείλουσι καὶ ἐνέχονται Ῥωμαίοις τισὶν ὑποτεταγμένοις καὶ πιστοῖς ἡμῖν καὶ τῇ βασιλείᾳ ἡμῶν, διὰ ταῦτα τὰς τοιαύτας συμφωνίας ἀκύρους καὶ ἀνατετραμμένας, μᾶλλον μὲν οὖν ἐκδηλότερον νοείσθω διὰ τῶν εἰρημένων τρεβῶν καὶ τῶν συμφωνιῶν τοὺς τοιούτους Βενετίκους τοὺς πιστοὺς καὶ ὑποτεταγμένους τῷ κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας δύνασθαι καὶ ἰσχύειν χρῆσθαι τοῖς δικαίοις αὐτῶν καθ' οἱωνδήποτε Ῥωμαίων τῶν ὀφειλόντων αὐτοῖς, οἷς Βενετίκοις καὶ ἑκάστῳ αὐτῶν ἡμεῖς καὶ ἡ βασιλεία ἡμῶν ποιήσομεν καὶ γενέσθαι ποιήσομεν δίκαιον σύντομον καὶ ἐντελές, ὡς καὶ πρότερον ὠφείλομεν καὶ νῦν ὀφείλομεν· κατὰ τὸν ὅμοιον τρόπον οἱ ἡμέτεροι Ῥωμαῖοι δυνήσονται καὶ ἰσχύσουσι χρῆσθαι τοῖς δικαίοις αὐτῶν κατὰ πάντων τῶν Βενετίκων τῶν ὀφειλόντων αὐτοῖς, οἷς Ῥωμαίοις ὁ κῦρις δοὺξ καὶ τὸ κουμούνιον Βενετίας, ὅ τε μπαΐουλος καὶ οἱ ὀφφικιάλιοι τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας πανταχοῦ καθιστάμενοι ποιήσουσι δίκαιον ἐντελὲς καὶ σύντομον, ὥσπερ καὶ πρότερον ὤφειλον καὶ ὀφείλουσι, κατὰ τὸ ἀκέραιον, σωζομένων καὶ τηρουμένων πάντων καὶ ἑκάστων τῶν παραφυλάξεων, καταστάσεων, ὑποσχέσεων καὶ ἐξηγήσεων, εἴ τε περὶ τῶν ζημιῶν τῶν μὴ ταχθεισῶν καὶ ὀνομασθεισῶν, μήτε ἰδίως ῥηθεισῶν καὶ τῶν ἄλλων τῶν ἀνωτέρω ὀνομασθέντων, ἃς μὴ νοείσθω ἔν τινι ἐλαττοῦσθαι προφάσει τῆς παρούσης τρέβας ἢ τῆς ἀφέσεως τῶν ἀδικιῶν, τῶν προσκομμάτων καὶ τῶν ζημιῶν, ἅπερ [πάντα] καὶ ἕκαστα τῶν ἀναγεγραμμένων ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν ὑπὲρ ἡμῶν αὐτῶν, τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ εἰς τὴν ψυχὴν ἡμῶν, ἁψάμενοι τῶν ἱερῶν γραφῶν, ἐπὶ παρουσίᾳ τοῦ ῥηθέντος κυροῦ ἀποκρισιαρίου, συνδίκου καὶ ἐπιτρόπου, ὁμοίως δὲ καὶ αὐτὸς ὁ κῦρις ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος ὀνόματι τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, ἁψάμενος τῶν αὐτῶν ἱερῶν γραφῶν, ὀμνύει εἰς τὰ ἅγια τοῦ θεοῦ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΛΑΣΚΑΡΙΣ τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ εἰς τὴν ψυχὴν τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, ἔχειν καὶ κρατεῖν βέβαια καὶ ἰσχυρὰ πάντα τὰ προειρημένα καὶ ἀμετακινήτως διατηρεῖν καὶ πληροῦν καὶ φυλαχθῆναι καὶ πληρωθῆναι ποιῆσαι καὶ μηδὲν ἐναντίον ποιῆσαι ἢ συγχωρῆσαι ἐλθεῖν ἐν τοῖς προειρημένοις ἢ ἔν τινι τῶν προειρημένων ἢ δι' ἡμῶν αὐτῶν ἢ δι' ἄλλου κατά τινα δικαιολογίαν ἢ πρᾶξιν ἢ ἐπινοίᾳ τινὶ ἢ αἰτίᾳ ἐπὶ ὑποθήκῃ καὶ ἐνοχῇ τῶν ἡμετέρων ἀγαθῶν, τῆς τε βασιλείας καὶ τοῦ εἰρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, τῶν τε παρόντων καὶ τῶν μελλόντων, ὧν πάντων εἰς μαρτυρίαν καὶ φανερωτέραν βεβαίωσιν ἡμεῖς ὁ βασιλεὺς καὶ ἡ βασιλεία ἡμῶν τὰς παρούσας τρέβας γενέσθαι καὶ γραφῆναι προσετάξαμεν γράμμασιν ἑλληνικοῖς καὶ λατινικοῖς, ῥωμαϊκοῖς μὲν διὰ χειρὸς τοῦ βασιλικοῦ νοταρίου Θεοφυλάκτου τοῦ Βασιλικοῦ, λατινικοῖς δὲ διὰ χειρὸς τοῦ οἰκείου τῆς βασιλείας ἡμῶν κυροῦ Φιλίππου τοῦ Τζυκανδύλη, καὶ διὰ μείζονα ἀσφάλειαν καὶ βεβαίωσιν τῶν εἰρημένων τρεβῶν ἡμετέρᾳ ἰδίᾳ χειρὶ ἐρυθροῖς γράμμασιν ὑπεγράψαμεν, καὶ ἡμετέρᾳ βούλλῃ χρυσῇ ἀπῃωρημένῃ κατοχυρωθῆναι ἐποιήσαμεν καὶ προσετάξαμεν, ἃς τῷ προειρημένῳ προβισόρῃ, συνδίκῳ καὶ ἐπιτρόπῳ δεδώκαμεν, ἔχοντες παρ' ἑαυτοῖς ὁμοίας ἄλλας τρέβας τὴν αὐτὴν περίληψιν ἐχούσας. ἅπαντα τὰ ἀναγεγραμμένα ἐγένοντο ἔτει ἀπὸ τῆς τοῦ κυρίου γεννήσεως χιλιοστῷ τριακοσιοστῷ ἐννενηκοστῷ κατὰ τὸν δρόμον τῶν Λατίνων, ἀπὸ δὲ τῆς συστάσεως κόσμου ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἐννενηκοστῷ ὀγδόῳ ἔτει. ἐπράχθη ταῦτα ἐν τῇ θεοφυλάκτῳ, θεοδοξάστῳ καὶ θεομεγαλύντῳ ἡμετέρᾳ πόλει τῇ Κωνσταντινουπόλει ἐν τῷ ἡμετέρῳ θεοφρουρήτῳ παλατίῳ, ἐν ᾧ νῦν οἰκοῦμεν †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

† Παρόντων μαρτύρων τριῶν τῶν συγκλητικῶν ἀρχόντων, τοῦ τε κυροῦ Γεωργίου τοῦ Ἀμιράντου καὶ κυροῦ Θεοδώρου τοῦ Κουμούση καὶ κυροῦ Ἀνδρέου Κομνηνοῦ τοῦ Καλοθέτου †.

Ἀπὸ δὲ τῶν Βενετίκων ἀρχόντων κύρις Φραντζέσκος Κυρίνη, κύρις Ζαχαρίας ὁ Φουσκαρῖνο, Κωνστάντζιος ὁ ἀπὸ τῆς Κορώνης

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΘΝΩΝ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠ. ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Θ. ΠΕΤΣΙΟΥ
Επ. Δρ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ Γεώργιος ὁ Μοσχολέων, δραγουμάνοι τοῦ κουμουνίου Βενετίας ἐν τῇ Κωνσταντινουπόλει †.

*Origin. membr. tabullarii Veneti. Versio latina ad dextram. Aurea bulla, olim suspensa serico violaceo, avulsa.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΙΔΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

## XXXIV. 6914—1406. 22. maii ind. XIV.

*Imperator Manuel Palaeologus prorogat in quinque annos anteriores pactiones cum Venetis factas.*

† Μανουήλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος καὶ ἀεὶ αὔγουστος. ἐπεὶ ὁ ἐπιφανὴς καὶ μεγαλοπρεπὴς κῦρις Μιχαὴλ Σθένω, θεοῦ χάριτι δοὺξ Βενετίας καὶ τὰ λοιπά, πρὸς ἡμᾶς καὶ τὴν τῆς ἡμετέρας βασιλείας παρουσίαν ἀπέστειλεν ἐν τῇ Κωνσταντινούπολει τῇ ἡμῶν περιφήμῳ πόλει τὸν ἐξῃρημένον, εὐγενῆ καὶ φρόνιμον ἄνδρα κῦριν Πάουλον Ντζάννε ἔντιμον καὶ περιφανῆ ἀποκρισιάριον αὐτοῦ εἰς τὰ μέρη τῆς Ῥωμανίας, σύνδικόν τε καὶ ἐπίτροπον αὐτοῦ τοῦ ἐπιφανοῦς καὶ μεγαλοπρεποῦς κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, ἔχοντα ἐντελῆ ἐξουσίαν καὶ ἄδειαν καὶ ὁρισμὸν τρακταῖσαι, ποιῆσαι, βεβαιῶσαί τε καὶ πληρῶσαι τρέβας καὶ συνθήκας τὰς κατωτέρω γραφησομένας μεταξὺ ἡμῶν τε καὶ τῆς ἡμετέρας βασιλείας καὶ τοῦ προειρημένου κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, καθὼς δηλοῦται διὰ δημοσίου συμβολαίου συνδικικοῦ γραφέντος χειρὶ Ἀλεξάνδρου νδὲ Ῥεγαρδάτης, υἱοῦ τοῦ σὲρ Λαυρεντίου ἐκείνου, βασιλικῇ ἀδείᾳ δημοσίου νοταρίου καὶ γραμματικοῦ τοῦ δουκάτου Βενετίας, ἔτει ἀπὸ τῆς τοῦ κυρίου γεννήσεως χιλιοστῷ τετρακοσιοστῷ τετάρτῳ ἰνδικτιῶνος δωδεκάτης, ἡμέρᾳ εἰκοστῇ δευτέρᾳ μηνὸς ἰουλλίου, καὶ κατωχυρωμένου μολιβδίνῃ βούλλῃ τοῦ προειρημένου κυροῦ δουκός, καὶ μέντοι μετὰ ποικίλας ὁμιλίας καὶ τρακταϊσμοὺς γενομένους μεταξὺ ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ προειρημένου συνδίκου, ἐπιτρόπου καὶ ἀποκρισιαρίου περιφανοῦς, ἡμεῖς Μανουήλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος, δι' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν, ἔτι τε τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν, ὁμοίως δὲ καὶ ὁ εἰρημένος ἀποκρισιάριος, σύνδικος καὶ ἐπίτροπος δικαίῳ καὶ ὀνόματι τοῦ

Π.Ε.Υ. ΛΤΠΣ Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006